eul_wid: reo-am

*Ἀλέξανδρος ὁ Ἀφροδισιεύς* · Alexander of Aphrodisias

# Fragments on Aristotelian Intellect

*Ἀποσπάσματα περὶ τοῦ Ἀριστοτελικοῦ Νοῦ*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ φιλοσοφική* Philosophical Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Aristotelian

1 (t) De intellectu doctrinae adumbratio Pseudo—Philoponus, in de Anima, ad Γ, 4, 429 a 10, p. 518,6—18 Hayduck ( Comment. in Aristot. graeca, XV). καὶ πρὸς Ἀλέξανδρον δέ (ἐστιν εἰπεῖν) ὅτι ὅρα πῶς τὸν νοῦν μόριον εἶπε τῆς ψυχῆς· ὅταν οὖν εἴπῃ τὸν νοῦν ἀΐδιον, μὴ λέγε ὅτι τὸν θύραθεν νοῦν λέγει· τὸν γὰρ ἐν ἡμῖν λέγει. ἰστέον γὰρ ὅτι ὁ νοῦς τρία τινὰ σημαίνει παρὰ Ἀριστοτέλει. ταῦτα δὲ τρία ἄλλως μὲν λέγει Ἀλέξανδρος ὁ Ἀφροδισιεύς, ἄλλως δὲ ὁ Πλούταρχος· ἀλλ’ ὁ μὲν Ἀλέξανδρος πρῶτον σημαινόμενον λέγει τοῦ νοῦ τὸν δυνάμει νοῦ ν , ὥσπερ ἐστὶν ὁ ἐπὶ τῶν παίδων · ἐν γὰρ τοῖς παισὶν ὁ δυνάμει νοῦ ς . δεύτερον σημαινόμενον τοῦ 〈νοῦ μετὰ τὸν〉 δυνάμει ὁ κα θ ’ ἕξιν νοῦ ς , ὥσπερ ὁ ἐπὶ τῶν τελείων ἀνθρώπων · οἱ γὰρ τέλειοι ἄνθρωποι εἴδησιν λοιπὸν ἔχοντες τῶν πραγμάτων τὸν κα θ ’ ἕξιν νοῦν ἔχειν λέγοντα ι . τρίτον σημαινόμενόν ἐστι τοῦ νοῦ ὁ ἐνεργείᾳ νοῦ ς , ὅ ἐστιν ὁ θύραθε ν , ὁ παντέλειο ς , ὁ μὴ ὢν κα θ ’ ἕξιν ἢ κατὰ τὸ δυνάμε ι , ἵνα καὶ ἁπλοῦς ᾖ ἀεὶ ἐνεργείᾳ ὢ ν , ὁ κυβερνῶν τὸ πᾶ ν· ταῦτα τὰ τρία σημαινόμενα τοῦ νοῦ κατὰ τὸν Ἀλέξανδρον. De intellectu humano Pseudo—Philoponus, in de An.

2 (n1) , ad Γ, 4, 429 a 15 ss., p. 521,11—23 Hayduck. ἐπειδὴ δὲ μέμνηται ὁ Ἀριστοτέλης τοῦ ἀμιγοῦς καὶ ἀπαθοῦς καὶ χωριστοῦ πρὸς τὸ δεῖξαι ὅτι ἀΐδιος ἡ ψυχή, ὁ Ἀλέξανδρος παραφθείρει τὰ τρία ταῦτα. πρῶτον μὲν τὸ ἀμιγές. φησὶ γὰρ ὅτι ἀμιγῆ λέγει τὴν ψυχή ν , ἐπειδὴ νόμος ἐστὶ τῶν μισγομένων τὸ πρῶτον κα θ ’ αὑτὸ εἶναι καὶ οὕτω συμμίσγεσθα ι . ἰδοὺ γὰρ ἐν τῷ οἰνομέλιτι πρῶτον ἦν κα θ ’ ἑαυτὸ τὸ μέλι καὶ ὁ οἶνο ς , καὶ εἶ θ ’ οὕτω συνεπλάκ η . ἐπεὶ οὖν οὐ πρώτη οὖσα κα θ ’ ἑαυτὴν ἡ ψυχὴ τῷ σώματι συνεμίγ η , ἀλ λ ’ ἅμα τῇ γενέσει συνεμίγη τῷ σώματ ι , διὰ τοῦτο ἀμιγῆ λέγει τὴν ψυχή ν . ἀπαθῆ δὲ αὐτὴν λέγε ι, φησίν, ὅτι οὐκ αὐτὴ ἡ ἐπιτηδειότης τῆς ψυχῆς ἔπαθε ν , ἀλλὰ τὸ σῶμα κατὰ τὴν ἐπιτηδειότητ α . ἐπεὶ οὖν πάθος λέγομεν [ τ ὸ ] παθεῖν τὴν ἐπιτηδειότητ α , νυνὶ δὲ οὐκ ἔπαθε ν , διὰ τοῦτο ἀπαθῆ αὐτὴν λέγε ι . χωριστὴν δὲ αὐτὴν λέγε ι, φησί, κατὰ τὴν ἑτερότητ α , καθὸ ὅλως διαφέρει σώματος καλῶν αὐτὴν χωριστή ν. Ps.

3a (n) —Philoponus, in de An., ad Γ, 4, 429 a 10, p. 519,16—31 Hayd. ἁμαρτάνει ... ὁ ... Ἀλέξανδρος διότι οὐδὲν βούλεται ἐπιλέγειν τῇ λέξει, ἀλλ’ ἀεὶ κατακολουθῶν αὐτῇ ἐναντιολογίαις καὶ νῦν περιπίπτει. ἀφορμὰς γὰρ λαβὼν ἐκ τῆς λέξεως οἴεται ὅτι αὐτὸς ὁ νοῦς καὶ ἡ οὐσία αὐτοῦ δυνάμει ἐστίν, καὶ οὐ λέγει ὅτι κατὰ τὰς ἐνεργείας αὐτοῦ ἐστι δυνάμει, οἷον ὁ ἐπὶ τῶν παίδων

νοῦς καθ’ ἡμᾶς δυνάμει ἐστί, διότι οὔπω οἶδεν τὰ εἴδη τῶν πραγμάτων, ἐπιτηδείως δὲ ἔχει πρὸς τὸ γνῶναι αὐτά, καὶ ταύτῃ δυνάμει ἐστὶ διὰ τὸ τὴν ἐνέργειαν αὐτοῦ μήπω γνῶναι τὰ ὄντα. ὁ δὲ Ἀλέξανδρος αὐτὴν τὴν οὐσίαν τοῦ νοῦ ἐπὶ τῶν παίδων λέγει εἶναι δυνάμει καὶ κατασκευάζει αὐτὸ φάσκων ὅτι ὁ νοῦς δυνάμει ἐστ ί , εἰ δὲ δυνάμει ἐστὶ κατὰ τὴν ἐπιτηδειότητ α , δῆλον ὅτι οὐκ ἔχει εἶδο ς , ἀλ λ ’ ὕλη ἐστὶ μόνο ν . πᾶν γὰρ τὸ πρῶτον δυνάμει ἐν ὕλῃ ἐστί ν . ὁ νοῦς ἄρα ὕλη ἐστὶ καὶ εἶδος οὐκ ἔχε ι , ἵνα μὴ θολούμενος ὑπὸ τοῦ εἴδους ῥέψῃ εἰς τὴν τοῦ οἰκείου εἴδους γνῶσιν καὶ τὰ ἐναντία αὐτῷ εἴδη μὴ γν ῷ . ὥσπερ γὰρ τὸ διαφανὲς ἀχρωμάτιστόν ἐστι ν , ἵνα ἀδεκάστως διακονῇ τὰ χρώματ α , οὕτω καὶ ὁ νοῦ ς, φησίν, ἀνείδεός ἐστι ν , ἵνα γνῷ πάντα τὰ εἴδ η. ταῦτα μὲν Ἀλέξανδρος, πάνυ δὲ ἁμαρτάνει. Ibid. [15]

3b (n) , ad Γ, 4, 429 a 15, p. 522, 22—24 Hayduck. ἐντεῦθεν ἠπατήθη Ἀλέξανδρος καὶ ἐνόμισεν αὐτὸν δεκτικὸν εἶναι τῶν εἰδῶν, λέγω δὲ τὸν νοῦν, καὶ δυνάμει εἶνα ι , ἀλλὰ μὴ τοῦτ ο , ἀντὶ τοῦ ἀλλὰ μὴ εἶδο ς . Ibid. [1]

3c (n) , ad Γ, 4, 429 a 18, p. 523,4—11 Hayduck. ὁ δὲ Ἀλέξανδρος πάλιν ἄλλως νοεῖ· φησὶ γὰρ ὅτι εἰ πάντα νοε ῖ , ἀμιγής ἐστι τῶν εἰδῶν καὶ οὐκ ἔχει εἶδο ς. ἡμεῖς δὲ μετὰ προσδιορισμοῦ λέγομεν ὅτι ἀμιγής ἐστι τῶν εἰδῶν ὧν γινώσκει, ἐπεὶ αὐτὸς αὐτόθεν εἶδος ὑπάρχει. εἴποι δὲ πρὸς ταῦτα ὁ Ἀλέξανδρος ὅτι εἰ κα θ ’ ὑμᾶς ὁ νοῦς ἀμιγής ἐστιν ὧν γινώσκει εἰδῶ ν , ἐπειδὴ καὶ ἑαυτὸν γινώσκε ι , λέγετε δὲ αὐτὸν εἶδος εἶνα ι , οὐκοῦν καὶ ἑαυτοῦ ἀμιγής ἐστιν ὁ νοῦ ς , ὅπερ ἐστὶν ἄτοπο ν. λέγομεν δὲ πρὸς τοῦτον ὅτι ὡς νοοῦν νοουμένου ἀμιγής ἐστι καὶ ἕτερος. Ibid. [5]

3d (n) , ad Γ, 4, 429 a 20, p. 523,20—23 Hayduck. ὁ δὲ Ἀλέξανδρός φησιν ὅτι καὶ ἐνταῦθα βούλεται τὸν νοῦν μὴ ἔχειν εἶδος καὶ ἐξ ὧν ἐπάγει · φησὶ γὰρ μὴ εἶναι αὐτοῦ φύσι ν , ἀλλὰ μόνον ὅτι δυνάμει ἐστί ν. Simplicius, in de Anima, ad Γ, 4, 429 b 9, p. [1]

4 (n1) 230, 12—22 Hayduck ( Comment. in Aristot. graeca, XI). Καὶ αὐτὸς δὲ αὑτὸν τότε δύναται νοεῖν] Οὐ κατὰ συμβεβηκὸς τῷ τὰ νοητὰ ἔχειν καὶ εἶναί πως ὁ αὐτὸς τοῖς νοουμένοις εἴδεσι ν , ὡς προηγουμένως τὰ εἴδη ἀλ λ ’ οὐχ ἑαυτὸν νοῶ ν, ὡς· ὁ Ἀλέξανδρος βούλεται, καὶ ἑαυτὸν δὲ νοῶν προηγουμένως ... ἀλ λ ’ οὐδέν, φησὶν ὁ Ἀλέξανδρος, αὐτὸ ὑ φ ’ ἑαυτοῦ πάσχει · τὸ δὲ νοεῖν ἐν τῷ πάσχειν τὸν νοῦν ὑπὸ τοῦ νοητοῦ εἶναι ἐδόκε ι. Pseudo—Philoponus, in de Anima, ad Γ, 4, 429 b 13, p. [5]

5a (n1) 529, 22—23 Hayduck. Πλούταρχος μὲν οὖν καὶ Ἀλέξανδρος βούλεται τῷ μὲν ἀΰλῳ τὰ ἄϋλα γινώσκεσθα ι , τῷ δὲ ἐνύλῳ τὰ ἔνυλ α. Ibid. [1]

5b (n) , ad Γ, 4, 429 b 14, p. 530,5—7 Hayduck. Ἐντεῦθεν Πλούταρχος καὶ Ἀλέξανδρος πιστοῦνται ὅτι ἰδοὺ αὐτὸς λέγει ὡς τῷ ἐνύλῳ τὰ ἔνυλα γινώσκεται · τῷ γὰρ αἰσθητικῷ εἶπε γινώσκεσθαι τὸ θερμό ν. Simplicius, in de Anima, ad Γ, 6, 430 b 26, p. [1]

8 (n) 259,38—260,2 Hayd. διὰ τοῦτό μοι δοκεῖ καὶ ἀρχόμενος τοῦδε τοῦ ῥητοῦ φάσιν εἰπεῖν τὴν οὐσιώδη τῆς ψυχῆς γνῶσιν καὶ προσθεῖναι τὸ ‘τι κατά τινοσ‘, οὐχ ὡς τοῖς ἐξηγηταῖς εἴρηται τῷ τε Ἀλεξάνδρῳ καὶ τῷ Νεστορίου Πλουτάρχῳ τῆς φάσεως νῦν ἀντὶ ἀποφάσεως εἰλημμένης ἢ ἀντὶ τοῦ ἐνδιαθέτου λόγο υ. Pseudo—Philoponus, in de Anima, ad Γ, 7, 431 a 2 ss. [5]

9 (n1) , p. 558, 4—6 Hayduck. ἐνταῦθα δὲ γενόμενος Ἀλέξανδρός φησιν ὅτι τετάρακται ὁ λόγο ς , εἴπερ καὶ ἄνω διέκρινε τὸν δυνάμει νοῦν ἀπὸ τοῦ ἐνεργεί ᾳ , καὶ νῦν δὲ τὸ αὐτὸ ποιε ῖ. Elias, in Categorias, Prooem, p. [1]

10b (n1) 123,4—7 Busse ( Comment. in Ar. gr., XV, III). οὗτος (ὁ Ἀλέξανδρος) γὰρ ἀντιπάσχων τῇ ἀθανασίᾳ τῆς ψυχῆς τῆς λογικῆς τὰς εἰρημένας ῥήσεις ἐν τῷ τρίτῳ λόγῳ τῆς περὶ ἀθανασίας τῆς ψυχῆς καὶ ἀποδεικνυούσας ὅτι ἔστιν ἀθάνατος ἡ ψυχή, πειρᾶται πᾶσαν στροφὴν περιστρέφειν. Simplicius, in de An. [1]

13b (n) [n1]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

, ad Γ, 7, 431 b 17—19, p. 279,30—32 Hayd. ἀλλ’ ὅ γε Ἀλέξανδρος καὶ τὸν ἀχώριστόν φησιν ἐνδέχεσθαι τῶν χωριστῶν εἶναι γνωστικό ν , ἐπειδὴ καὶ ἀπὸ τῶν ἀχωρίστων ἡ εἰς τὰ χωριστὰ αὐτῷ ἀναφορ ά. De intellectu agente seu divino seu extrinseco Philoponus, in de Anima, ad A, 4, 408 b 18, p.

14-16e (t) 159,9—16 Hayduck. Ἀλέξανδρος ἀντιβλέψαι μὴ δυνάμενος πρὸς τὰ προφανῶς ὑπὸ τοῦ Ἀριστοτέλους λεγόμενα, ὁμολογεῖ μὲν ἑκὼν καὶ ἄκων τὸν νοῦν ἀθάνατον εἶνα ι, ἐπειδὴ μὴ εὗρεν ἄλλην ἐξήγησιν τῷ ῥητῷ ἁρμόζουσαν σύμφωνον τῷ ἑαυτοῦ σκοπῷ, πολλαχοῦ μέντοι μετ’ ἐνδοιασμοῦ τινος τὸν λόγον ποιεῖται. καὶ ἐνταῦθα μὲν ὁμολογεῖ ἀθάνατον εἶναι λέγειν τὸν νοῦν τὸν Ἀριστοτέλη, βραχὺ δὲ προελθὼν ἔτι τῆς συνεχείας οὔσης τοῦ λόγου ἐντυγχάνων τῷ ῥητῷ τῷ λέγοντι ‘ὁ δὲ νοῦς ἴσως θεῖόν τε καὶ ἀπαθές ἐστι‘, περὶ τοῦ θείου φησὶ νοῦ τὸν λόγον εἶνα ι. Philoponus, in de Anima, ad B, 3, 415 a II, p. [5]

15 (n1) 261,10—12 Hayduck. Κἀνταῦθα πάλιν δῆλός ἐστι χωρίζων τὸν νοῦν καὶ μὴ συναριθμῶν ταῖς ἄλλαις τῆς ψυχῆς δυνάμεσιν. ἐνταῦθα δὲ πάλιν ὁ Ἀλέξανδρός φησιν αὐτὸν λέγειν περὶ τοῦ θείου νοῦ τοῦ ἐν τοῖς ἀϊδίοι ς. Pseudo—Philoponus, in de Anima, ad Γ, 5, 430 a 10 ss. [1]

16c (n1) , p. 535, 4—5 Hayduck. Ἀλέξανδρος μὲν γὰρ ἐνεργείᾳ νοῦν ἐκάλεσε τὴν μίαν τῶν πάντων ἀρχὴν ἤτοι τὸν θύραθεν νοῦ ν. Ibid. [1]

16d (n) , p. 535,20—29 Hayduck, Ἀλέξανδρος μὲν οὖν ἔλεγεν ἐνεργείᾳ νοῦν τὸ πρῶτον αἴτιο ν· ἐπλανᾶτο δὲ ἐκ τοῦ ἀκούειν αὐτὸν ὅτι πάντα ποιεῖ. τίς γάρ ἐστιν ὁ πάντα ποιῶ ν , εἰ μὴ ἡ πρώτη αἰτί α ; εἰ οὖν Ἀριστοτέλης λέγει ὅτι ὁ κα τ ’ ἐνέργειαν νοῦς πάντα ποιε ῖ , δῆλον ὅτι κα τ ’ ἐνέργειαν νοῦν λέγει τὴν πρώτην αἰτία ν. καὶ ὅτι πάλιν λέγει τῇ οὐσίᾳ σύνδρομον ἔχειν τὴν ἐνέργειαν τὸν ἐνεργείᾳ νοῦ ν , ὅπερ μόνῳ θεῷ οἰκεῖον ( ὁ γὰρ ἡμέτερος νοῦς φαίνεται διὰ δυνάμεως τὴν ἐνέργειαν ποιούμενο ς), καὶ πάλιν ὅτι ἀεὶ ἐνεργε ῖ. ἐντεῦθεν οὖν ὁ Ἀλέξανδρος ἠπατᾶτο καὶ ἔλεγεν ὅτι οὐδενὶ ταῦτα εἰ μὴ μόνῳ θεῷ ἁρμόττε ι . θεοῦ γὰρ μόνον οἰκεῖον τὸ σύνδρομον ἔχειν τῇ οὐσίᾳ τὴν ἐνέργειαν καὶ τὸ ἀεὶ ἐνεργεῖ ν. Ibid. [10]

16e (n) , p. 539,35—39 Hayduck. διὰ τὸ εἰκάσαι αὐτὸν φωτὶ ἠπατήθη ὁ Ἀλέξανδρος, καὶ διὰ τὸ εἰπεῖν τὸν Ἀριστοτέλην πάντα ποιεῖν αὐτὸν ὥσπερ τὸ φῶς. ἀλλ’ οὐδ’ ὤφελεν ἀπατηθῆναι. προστέθεικε γὰρ Ἀριστοτέλης ‘τρόπον τινά‘, ὁ δὲ θεὸς οὐ τρόπον τινὰ πάντα ποιεῖ, ἀλλὰ κατὰ πάντα τρόπον ποιεῖ τὰ πάντα. [1]

Eulogikon public reading copy · View original HTML at eulogikon.org